www.tezaurliturgic.ro






ΕΚ ΤΟΥ ΑΓΙΟΓΡΑΦΕΙΟΥ Ι. Μ. ΑΓΙΟΥ ΙΕΡΟΘΕΟΥ ΜΕΓΑΡΑ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΔΙΚΑΙΟΝ

# ΘΕΟΠΑΤΟΡΑ ΔΑΥΪΔ

## ΤΟΝ ΠΡΟΦΗΤΑΝΑΚΤΑ ΚΑΙ ΨΑΛΜΩΔΟΝ

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΔΙΚΑΙΟΝ

# ΘΕΟΠΑΤΟΡΑ ΔΑΥΪΔ

## ΤΟΝ ΠΡΟΦΗΤΑΝΑΚΤΑ ΚΑΙ ΨΑΛΜΩΔΟΝ

Ποίημα Καθηγουμένης
Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

*Ἐπιμέλεια:* Γεώργιος Μαγκιρίδης

Ἀθῆναι 2008

www.tezaurliturgic.ro

Στήν μνήμη
τῶν προγόνων μου
Νικόλαου, Ἀναστασίας,
Κωνσταντίνου & Φωτεινῆς

Γ.Μ.

*Εἰκών ἐξωφύλλου:* Σκίτσο Προφήτου Δαυΐδ.
Ἔργον Θεοδώρας μοναχῆς Ἁγιεροθεϊτίσσης.

*Εἰκών ὀπισθοφύλλου:* Χειρόγραφο Ψαλτήριο φ. 28α, 1066.
Λονδίνο, British Library.

ISBN: 978-960-88524-4-0

Ἐκδοτική Παραγωγή
ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

# ΠΡΟΛΟΓΟΣ

Ἡ Ἱερά Ἀκολουθία τῆς Παρακλήσεως εἰς τόν Θεοπάτορα καί Προφητάνακτα Δαυΐδ, δημοσιεύται χάριν εὐλαβείας πρός τόν Προφήτη, εἰς τόν ὁποῖον φέρομεν ἰδαιτέραν εὐλάβεια.

Συνετέθη ὑπό τῆς Ὁσιολογιωτάτης καθηγουμένης τῆς Ἱ. Μονῆς Κοιμήσεως Θεοτόκου Κυπαρισσιωτίσης καί Ἁγίου Ἱεροθέου Μεγάρων σεβαστῆς μας Γεροντίσσης Ἰσιδώρας Μοναχῆς, τῇ εὐλαβεῖ ὑμῶν αἰτήσει καί προτροπῇ, τήν ὁποίαν ἐκ βάθους καρδίας εὐχαριστοῦμεν.

Μέ τό παρόν ὑμνογραφικό πόνημα δίδεται ἡ εὐκαιρία στούς φιλαγίους νά τιμοῦν τόν προφήτη τῆς μετανοίας καί συγγραφέα τοῦ θεολογικώτατου καί βαθυστόχαστου βιβλίου τῶν ψαλμῶν, καί νά αἰτοῦνται τάς πρεσβείας του πρός τόν φιλεύσπλαχνον Θεόν ὁ Ὁποῖος ποιεῖ τά θελήματα τῶν φίλων Αὐτοῦ.

Ταπεινῶς εὐχόμεθα ὁ Θεοπάτωρ προφήτης Δαυΐδ ὁ τύπος καί τό ὑπόδειγμα τῆς ἀληθοῦς μετανοίας νά δίδει πρός πάντας τήν ὁδόν τῶν δακρύων τῆς ταπεινώσεως καί μετανοίας.

Τέλος θερμές καί πολλές ὀφείλουμε τίς εὐχαριστίες στίς ἐκδόσεις ΕΠΤΑΛΟΦΟΣ γιά τήν οὐσιαστική καί γόνιμη συνεργασία μας.

***Γεώργιος Κ. Μαγκιρίδης*** *θεολόγος*

11/06/08
Παναγίας Ἄξιόν Ἐστι
Βαρθολομαίου & Βαρνάβα
τῶν Ἀποστόλων

www.tezaurliturgic.ro




Ὁ Προφήτης Δαυΐδ τοιχογραφία ἀπό τόν Τροῦλλο τοῦ Καθολικοῦ τῆς Μονῆς Διονυσίου.

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΔΙΚΑΙΟΝ ΘΕΟΠΑΤΟΡΑ ΔΑΥΪΔ ΤΟΝ ΠΡΟΦΗΤΑΝΑΚΤΑ ΚΑΙ ΨΑΛΜΩΔΟΝ

Οὗ ἡ ἱερὰ μνήμη ἐπιτελεῖται τὴν Κυριακὴν μετὰ τὴν τοῦ Χριστοῦ Γέννησιν.

*Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.*

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὰ ἑξῆς:*

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὁ ἐκλεκτὸς ἐν βασιλεῦσι καὶ μέγας, ὁ ὑψηλὸς ἐν τοῖς προφήταις καὶ ἄρχων, ὁ ἱερὸς ἐν ἄσμασι, τιμάσθω Δαυΐδ· οὗτος γὰρ ἐτίμησε, τὸν Θεὸν μετὰ δόξης, πλείστοις κατορθώμασιν, ἐν καιρῷ Διαθήκης· τῆς Παλαιᾶς ἡμῖν ὁδοποιῶν, τῆς Βασιλείας, Θεοῦ τὴν καινότητα.

www.tezaurliturgic.ro

*Δόξα. Ὅμοιον.*

Τὸν Βασιλέα τοῦ Παντὸς καὶ Δεσπότην, ἐν Ψαλτηρίῳ ὁ Δαυΐδ ὁ προφήτης, θεοπρεπῶς ἀνύμνησε, παρέχων ἡμῖν· τύπον καὶ ὑπόδειγμα, ἀληθοῦς μετανοίας, οὗτος ἁμαρτήσας γάρ, τῷ Θεῷ ἀνεβόα· ὡς ἐλεήμων ἔλεος τὸ σόν, δός μοι καὶ σβέσον, πταισμάτων τὸ χρέος μου.

*Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ψαλμὸς Ν΄ καὶ ὁ Κανών.*

*Οὗ ἡ ἀκροστιχίς:*

«Προφητάναξ Δαυῒδ ὁ ψαλμῳδὸς ψαλλέσθω. Ἰσιδώρας»

*Ἦχος πλ. δ΄. Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.*

Πενήτων ἐπάκουσον τῆς κραυγῆς, Δαυῒδ προφητάναξ καὶ παράσχου βασιλικῆς, τιμῆς τὰς πλουσίας ἀμοιβάς σου· τοῦ μελῳδεῖν σου τὰ ἔνθεα τάλαντα.



Ῥητόρων ὁ ἔξαρχος καὶ σοφῶν, ἀνάκτων ὁ μέγας προφητῶν τε ὁ προεστώς, τιμὴ ψαλμῳδῶν τε καὶ Δικαίων· σὺ εἶ Δαυῒδ θεοπάτορ πανεύφημε.

Ὀρθρίσας πρὸς Κύριον ἐκ νυκτός, Δαυῒδ ἐμελώδεις ἐν κιθάρᾳ τε καὶ ψαλμοῖς, τὴν δόξαν Αὐτοῦ τῆς Βασιλείας· καὶ τὴν πολλὴν πρὸς ἡμᾶς ἀγαθότητα.

Φωστὴρ ἐξανέτειλας φαεινός, Δαυῒδ προφητάναξ ἐκ τῆς πόλεως Βηθλεέμ, καὶ πᾶσαν κατηύγασας τὴν κτίσιν· ὑμνῳδιῶν σου ταῖς θείαις φαιδρότησιν.

*Θεοτοκίον.*

Ἡ μήτρα σου γέγονεν ἀληθῶς, Παρθένε Μαρία πλατυτέρα τῶν οὐρανῶν, Θεὸς γὰρ ἐν ταύτῃ ἐχωρήθη· ὁ Βασιλεὺς τῶν ἁπάντων καὶ Κύριος.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τοῦ Κυρίου τὸν νόμον, ὃν ὁ Μωσῆς ἔγραψεν, ὅλῃ σου ψυχῇ καὶ καρδίᾳ, κατεμεγάλυνας, Θεοπροπάτορ Δαυΐδ, τῆς Παλαιᾶς Διαθήκης, ἀληθῶς γενόμενος, πάγχορδον ὄργανον.

Ἀβραὰμ ἐκ τῆς ῥίζης, τῆς εὐκλεοῦς ἤνθησας, καὶ τοῦ Ἰησοῦ κατὰ σάρκα, πρόγονος γέγονας, ὦ προφητάναξ Δαυΐδ, συγγενικῇ σου πρεσβείᾳ, πρὸς Θεὸν προσέγγισον, τοὺς ἀνυμνοῦντας σε.

www.tezaurliturgic.ro

Ἄνοιξον ἡμῖν, τὴν σὴν χεῖρα τὴν φιλόστοργον, καὶ δαψίλευσον Δαυῒδ τὰς δωρεάς, σῆς χορηγίας, ὡς θεράπων χριστομίμητος.

Λύμην τοῦ ἐχθροῦ, τὴν ψυχόλεθλον φυγάδευσον, ἐκ τῶν δούλων σου θεσπέσιε Δαυῒδ, ψυχοφελίμους, ἡμῖν δίδων ἀγαθότητας.

*Θεοτοκίον.*

Μῆτερ τοῦ Θεοῦ, Παναγία ὑπεράμωμε, τῆς ἀμέμπτου ἡμῖν δὸς διαγωγῆς, τὰς προεκτάσεις, ἐν τελείᾳ κοσμιότητι.

*ᾨδὴ στʹ. Τὴν δέησιν.*

Ὡς πάγχορδον, Παρακλήτου ὄργανον, τοῖς πιστοῖς τὰ ὑπὲρ νοῦν μεγαλεῖα· μάκαρ Δαυῒδ, μελῳδεῖς εὐαρέστως, καὶ τῶν ψαλμῶν σου τῇ θείᾳ τερπνότητι· ἀνάγεις πάντας εἰς τιμῆς· ἐξαιρέτου τὴν θείαν ἐπίγνωσιν.

Διδάσκαλος, τῆς σοφίας γέγονας, ἀρετῆς τε πρακτικῆς ἀρχιτέκτων· στηλογραφῶν, οὐρανίων τὰ κάλλη, καὶ ἑρμηνεύων τὰ θεῖα διδάγματα· καὶ ταῦτα πάνσοφε Δαυῒδ· ὡς βαρὺν ἡμῖν πλοῦτον παρέδωκας.

Ὁδήγησον, εἰς ὁδὸν εὐθεῖαν με, καὶ εἰς τόπον ἀναπαύσεως θείας· ὁ ἡγηθείς, τοῦ στρατοῦ σου ἐν μάχαις, καὶ τὰ τῆς νίκης λαβὼν βραβευτήρια· ἀξίως εὔψυχε Δαυῒδ· τοῦ Θεοῦ στρατιῶτα ἀήττητε.



Σκαιότητος, νομικῆς παρέδραμες, παλαιότητα Δαυῒδ Θεηγόρε· καὶ τῆς Καινῆς Διαθήκης ἐγένου, ὁ ἀσφαλὴς ὁδηγὸς καὶ πολύσοφος· πρὸς φῶς μετάγων νοητόν· τούς πιστῶς ἑπομένους σοῖς ἴχνεσιν.

*Θεοτοκίον.*

Ψαλλάτωσαν, τὴν Ἁγνὴν Μητρόθεον, Παναγίαν τῶν Ἀγγέλων αἱ τάξεις· καὶ γενεαί, τῶν ἀνθρώπων συμφώνως, τὰ μεγαλεῖα αὐτῆς μακαρίσωμεν· ἐξαίρετον καὶ γὰρ τιμήν· ὡς Θεὸν τετοκυῖα περίκειται.

Δικαίωσον, ἡμᾶς εὐχαῖς σου ὦ δίκαιε προφητάναξ, καὶ ἀνάδειξον ὦ Δαυῒδ, ψαλτήρια Πνεύματος, ὡς ἔμψυχος τούτου στηλογραφία.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Αἴτησις καὶ τὸ Κοντάκιον.*
*Ἦχος βʹ. Προστασία τῶν Χριστιανῶν.*

Λειτουργίαν τὴν ᾀσματικήν σου γεραίρομεν, Ψαλμῳδίαν τὴν ποιητικήν σου θαυμάζομεν, Θεοπάτορ τῶν προφητῶν τε πρώταρχε Δαυῒδ· ἡμᾶς σύναξον λειτουργικῶς, εἰς τὴν ἀγάπησιν Θεοῦ, τοῦ ἀεὶ Βασιλεύοντος. Πρόσδεξαι σοὺς ἱκέτας, τοὺς ὕμνοις σε εὐλογοῦντας, καὶ μεγαλύνοντας πιστῶς, τὰς ἐνδόξους ἀριστείας σου.

www.tezaurliturgic.ro

*Προκείμενον.*

Μὴ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

*Στίχος:* Διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

*Δόξα.*

Ταῖς τοῦ σοῦ Προφήτου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

*Στίχος:* Ἐλεῆμον ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὕμνοις Ψαλτηρίου σου, τοῖς ἱεροῖς καὶ ἐνθέοις, ἀρεστῶς ἐδόξασας, τὸν Θεὸν καὶ Κύριον τῶν Δυνάμεων· καὶ Αὐτοῦ γέγονας, ἡ ὁδὸς ἡ ζῶσα, ὁδηγοῦσα εἰς τὰ κρείττονα· Δαυῒδ μακάριε, τῶν θεοπατόρων ἡ εὔκλεια· Δικαίων ἡ εὐπρέπεια, καὶ τῶν Βασιλέων τὸ καύχημα· στέφος Προφητῶν τε, τῆς θείας Διαθήκης θησαυρός, τῆς Παλαιᾶς ἣν κατηύγασας, φωτὶ τῶν ἀγώνων σου.



*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀδικίας ὑπέστης, ἐκ Σαοὺλ Βασιλέως Δαυῒδ μακάριε, ἀλλ᾽ ἔχων οὐρανόθεν, μεγάλην συμμαχίαν, νικητὴς ἀναδέδειξαι· δοξολογῶν ἐν ψαλμοῖς, Θεοῦ τὴν ἐξουσίαν.

Λειτουργοῖς τοῖς ἀΰλοις, ὦ Δαυῒδ συνηρμόσθης ἐν ἁγιότητι, καὶ γὰρ Θεοῦ λατρείας, τὰ δέοντα εἰργάσω, καὶ σκηνὴν νέαν ἔπηξας· ἵνα τεθῇ Κιβωτός, καὶ Πλάκες Διαθήκης.

Λόγοις θείας σοφίας, οὐρανοῦ μεγαλεῖα τὰ ὑπερθαύμαστα, Δαυῒδ Θεοπροπάτορ, καλῶς ἐδιηγήθης, καὶ μισθὸν πολυπλάσιον· ἔσχες Θεοῦ ἐκ χειρός, πιστὸς ὡς οἰκονόμος.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, τοῦ Θεοῦ ἐμελέτας Δαυῒδ τὸ ὄνομα, διὸ καὶ ἠξιώθης, γενέσθαι κληρονόμος, ἀγαθῶν ὧν ἡτοίμασε· τοῖς ἀγαπῶσιν Αὐτόν, ἐξ ὅλης τῆς καρδίας.

*Θεοτοκίον.*

Σοφιστῶν ἡ σοφία, καὶ ῥητόρων δεινότης καὶ χείλη εὔλαλα, τελείως σιωπῶσι, ἐν σοὶ Παρθενομῆτορ, Θεοτόκε Πανάχραντε· τοῦ Μυστηρίου τοῦ σοῦ, θαμβούμενοι τὸν τρόπον.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Θεολογίας, τῆς ἱερᾶς σὺ ἐγένου, ὁδηγὸς ὦ Δαυῒδ προφητάναξ, θείῳ πηδαλίῳ, σεπτοῦ σου Ψαλτηρίου.

www.tezaurliturgic.ro

Ὡς φοῖνιξ ὤφθης, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, πολλαπλῇ ἀρετῶν εὐκαρπίᾳ, θάλπων τὰς καρδίας, Δαυῒδ τῶν ἱκετῶν σου.

Ἱστίῳ θείῳ, τῶν πρεσβειῶν σου εἰς ὅρμον, γαληνοῦς ὦ Δαυῒδ θεωρίας, ἄγεις τοὺς τιμῶντάς, τὴν πάνσεπτόν σου μνήμην.

Σχολάσας Πάτερ, ἐν προσευχαῖς καὶ μελέταις, τῶν Γραφῶν τῶν ἁγίων ἐγένου, τύπος πολιτείας, Δαυῒδ τῆς ἰσαγγέλου.

Ἰδού σε πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων, μακαρίζουσι Κόρη Παρθένε, καὶ ὑπερυψοῦσι, σὸν τόκον εἰς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Δαυῒδ τὸν θεηγόρον, ᾄσμασιν ἐνθέοις, καὶ ἐν ψαλμοῖς ἁρμοδίοις, συμφώνως πιστοί, ἐπευφημήσωμεν τούτῳ, χαίροις προσάδοντες.

Ὡς ἥλιος ἐφάνης, ἐκ τῆς Ἰουδαίας, καὶ τὴν ὑφήλιον πᾶσαν, αὐγάζεις Δαυΐδ, τῇ θαυμαστῇ φωταυγείᾳ, τῶν χαρισμάτων σου.

Ῥοῇ τῶν σῶν δακρύων, ἔβρεχες σὴν κλίνην, καὶ ἐν κλαυθμῷ τὸν σὸν ἄρτον, ἐσθίων Δαυΐδ, τῆς μετανοίας ἐγένου, θεῖον ὑπόδειγμα.

Ἀνάκτων προφητῶν τε, σὺ εἶ κοσμιότης, τῶν Ψαλμῳδῶν τε ὁ ἄρχων, Δικαίων τιμή, Θεοπατόρων Δαυῒδ τε, ἔξοχον λάλημα.



*Θεοτοκίον.*

Σοὶ πρέπει πᾶσα δόξα, αἶνος σοι ἁρμόζει, καὶ ἡ τιμή σοι προσήκει, Παρθένε Ἁγνή, σοὶ οὖν οἱ δοῦλοι σου γόνυ, κάμπτομεν Δέσποινα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

*Καὶ τὰ ἑξῆς Μεγαλυνάρια.*

*Ὧν ἡ ἀκροστιχίς:*

«Χαίροις Θεοπάτορ δίκαιε».

Χαίροις Βασιλέων τοῦ Ἰσραήλ, μέγας καὶ ἐξέχων καὶ ἐν χάρισι θαυμαστός, χαίροις τῶν Δικαίων ἐξαίρετος λαμπρότης· Δαυῒδ θεοπατόρων τὸ σεμνολόγημα.

Ἄσμασιν αἰνέσωμεν ἱεροῖς, πάντες τὸν προφήτην τοῦ Κυρίου τὸν ἱερόν, τὸν διακριθέντα πολλοῖς θεοσημείοις· Δαυῒδ τὸν ψαλμογράφον τὸν ἱκανώτατον.

Ἵλεων ἀπέργασαι τὸν Κριτήν, ταῖς πανευπροσδέκτοις ἱκεσίαις σου ὦ Δαυΐδ, ὅπως πα-

www.tezaurliturgic.ro

ραβλέπων ἡμῶν τὰς ἁμαρτίας· τὸ ἔλεος παράσχῃ τὸ ἀπροσμέτρητον.

Ῥήτωρ σὺ εἶ ἄριστος ὦ Δαυΐδ, τὰς ὑπερκοσμίους διηγούμενος καλλονάς, κάλαμος δὲ πέλει τῷ ὄντι ὀξυγράφου· ἡ γλῶσσα σου προφῆτα ἡ θεοκίνητος.

Ὄργανον τοῦ Λόγου ἠχητικόν, ὦ Δαυΐδ ὑπάρχεις τὰς τοῦ πνεύματος δὲ λαλεῖς, θείας ἀληθείας πολλῇ ἐν θαυμαστώσει· καὶ πᾶσι μεταδίδως χάριτος εὔνοιαν.

Ἰλὺν ἐκτινάξας τὴν τῶν παθῶν, τῆς καθαρωτάτης ἀπαθείας ὤφθης κανών, ἔσοπτρον Δαυΐδ τε ἐκφαίνον ἀντιδόσεις· Θεοῦ τοῦ Φωτοδότου ἐν ἐπιλάμψεσιν.

Σύννους μεγαλόψυχος καὶ σοφός, φίλος τε οἰκεῖος τοῦ Θεοῦ σου καὶ ἐκλεκτός, πρᾶος ταπεινός τε ψυχῇ τε καὶ καρδίᾳ· Δαυΐδ Θεοπροπάτορ σὺ διεγνώρισαι.

Θέλημα ὑπέταξας σῆς σαρκός, Πνεύματος τῷ νόμῳ τῷ Ἁγίῳ Δαυΐδ σοφέ, τῆς ἐλευθερίας διὸ εἰς ὕψος ἤρθης· πτεροῖς θεοκινήτοις τῆς τελειότητος.

Ἔλεγχος ἐγένου τῷ Γολιάθ, τοῦτον θανατώσας τῇ σφενδόνῃ σου τῇ μικρᾷ, δύναμιν Θεοῦ σου Δαυΐδ ὑπερυψώσας· τὰ Τούτου μεγαλεῖα πιστοποιούμενος.



Ὄλβον ἐθεώρεις ὡς τιμαλφῆ, τοῦ Θεοῦ τοὺς λόγους τοὺς ἐν βίβλοις σεπτῶν Γραφῶν, τούτοις δὲ πρεπόντως Δαυΐδ ὁμοφρονήσας· ἐγένου τῶν χαρίτων μέγα θησαύρισμα.

Πύργος τῆς ἰσχύος τῆς θεϊκῆς, σὺ Δαυΐδ ὑπάρχεις Αἰθιόπων τῶν νοητῶν, φάλαγγας συντρίβων ἐνστάσει σου γενναίᾳ· στηρίζων τοὺς πιστούς τε εἰς τὴν εὐσέβειαν.

Ἄκουσον τῶν δούλων σου τὰς φωνάς, τῶν ἐν ταπεινώσει προστρεχόντων σοι ὦ Δαυΐδ, δίδου δὲ εὐχαῖς σου πρὸς Κύριον ἐλέους· χρηστὰς εὐεργεσίας ἐν ἀγαθότητι.

Τίς ἐκδιηγήσασθαι δυνατόν, τὰς ἀνδραγαθίας τὰς ἀπείρους σου ὦ Δαυΐδ, τίς δὲ τῆς ψυχῆς σου ἀνάστημα ἐν ἄθλοις· δυνήσεται προσβλέπειν τὸ οὐρανόφθαστον.

Ὄμβροις τῶν δακρύων σου ὦ Δαυΐδ, ἔβρεχες στρωμνήν σου καὶ τὴν κλίνην σου συνεχῶς, ὅθεν χαρμοσύνης εἰσῆλθες εἰς νυμφῶνα· πιστοῖς συνάμα δούλοις ἀγαλλιώμενος.

Ῥύπον τῶν πταισμάτων σου ὦ Δαυΐδ, ἔπλυνας γνησίας μετανοίας σου στεναγμοῖς, κράζων ἐκ βαθέων Θεῷ ἐλέησόν με· καὶ ἄνες μοι καὶ ἄφες ὡς πολυεύσπλαγχνος.

Διψῶσα ὡς ἔλαφος εἰς πηγάς, ἦλθες τῶν ὑδάτων ἔνθα ἔπιες ὦ Δαυΐδ, πόθον σου δὲ

www.tezaurliturgic.ro

θεῖον ἐκεῖσε ἀποσβέσας· Θεὸν ἐδοξολόγεις τὸν εὐεργέτην σου.

Ἴχνεσιν ἑπόμενος προφητῶν, μέγας ἀνεδείχθης καὶ ἐξαίρετος ἐν αὐτοῖς, ἅμα τε τὸ στέφος λαβὼν τῆς Βασιλείας· Δαυῒδ τὴν κλῆσιν ἔσχες τοῦ Προφητάνακτος.

Κέδρος ὡς ὑψίκομος ἀληθῶς, ἐν αὐλαῖς ἐπέστης τοῦ Κυρίου σου ὦ Δαυΐδ, καὶ καρποφορίας χρηστῆς τῇ ἐπιδόσει· εὐφραίνεις τὰς καρδίας τῶν εὐλογούντων σε.

Ἄστρον ἐξανέτειλας ὡς λαμπρόν, ἐκ τῆς Ἰουδαίας καὶ ἐκ πόλεως Βηθλεέμ, πᾶσαν δ' οἰκουμένην φαιδρύνεις ὑπερκάλλως· Δαυῒδ σῆς πολιτείας τοῖς προτερήμασιν.

Ἰούδα ἐκ ῥίζης καὶ Ἰεσσαί, Δαυῒδ ἀνεφύης καὶ ἐκ γένους σου ὁ Χριστός, ἔλαβε τὴν σάρκα ἑκὼν ἐνανθρωπήσας· κληθεὶς ὦ Θεοπάτορ υἱὸς καὶ γόνος σου.

Ἔπαρσιν καθεῖλες τοῦ δυσμενοῦς, σοῦ τῇ μετανοίᾳ καὶ καρδίας τῇ συντριβῇ χάριν ὅθεν εὗρες Δαυῒδ παρὰ Κυρίου· τοῦ μάλα ἀγαπῶντος τοὺς ταπεινόφρονας.

Χαίροις τῶν ποιμένων Δαυῒδ ποιμήν, χαίροις θεηγόρων προφητῶν τε ὑπεροχή, χαίροις τῶν ἀνάκτων κλεινὴ προσηγορία· δικαίων προπατόρων ἡ σεμνοπρέπεια.



Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον*

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Ἰεσσαὶ πατρικῶς σοι ὦ Δαυῒδ ἐπαγάλλεται, ἅμα Βηθλεὲμ ἡ πατρίς σου, ἐγκαυχᾶται τοῖς ἄθλοις σου· ἐδείχθης γὰρ Θεοῦ πρωταθλητής, σφενδόνῃ σου φονεύσας Γολιάθ, ψαλτηρίου σου δὲ ὕμνοις πνευματικοῖς, Δικαίοις συνηρίθμησαι. Χαίροις τῶν Προφητῶν ὑπεροχή, χαίροις ἀνάκτων ἕδρασμα, χαίροις τῶν προπατόρων τοῦ Χριστοῦ, ἡ θεία σεμνοπρέπεια.

*Ἐκτενὴς καὶ Ἀπόλυσις.*

*Πρὸ δὲ τοῦ δι' εὐχῶν, τὰ ἀκόλουθα.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Χαίροις προφητῶν ἡ κορυφή, χαίροις τῶν ἀνάκτων τὸ κράτος, τῶν ψαλμῳδῶν ἡ φωνή, κλέος τῶν Δικαίων τε, καὶ σεμνολόγημα· προπατόρων ὁ ἔξαρχος, Θεοῦ συγγενής τε, φίλος τε ἐγγύτατος, καὶ ἀληθέστατος. Τούτου τὸν σωτήριον νόμον, ἀγαθὸς ὡς δοῦλος φυλάξας· πάσῃ σου σπουδῇ Δαυῒδ θειότατε.

www.tezaurliturgic.ro

Ὕμνοις ψαλτηρίου σου καινοῖς, τὰς τῶν εὐσεβῶν διανοίας, καὶ τὰς καρδίας Δαυῒδ, τέρπεις παρεχόμενος, τὴν ἀγαλλίασιν· καὶ διώκεις τοὺς δαίμονας, τῇ τούτων δυνάμει, ὥσπερ τῇ σφενδόνῃ σου, πάλαι ἐφόνευσας. Μέγαν Γολιὰθ ἐν δυνάμει, νίκης ἐπισχὼν τὰ βραβεῖα· νῦν ἡμῖν δὲ δίδως σὴν ἀντίληψιν.

Πλάκας τοῦ Θεοῦ τὰς ἱεράς, καὶ τὴν Κιβωτὸν Διαθήκης, μετακομίσας Δαυῒδ, εἰς Ἱεροσόλυμα, σπουδῇ θεόφρονι· καὶ σκηνὴν νέαν θέμενος, ἐγένου λατρείας, θείας ὁ ὑπέρμαχος, ἐν ἀναλώμασιν. Κόπων τῶν τοιούτων οὖν βλέψας, ὁ Παμβασιλεὺς ἐν νυμφῶνι· τῆς χαρᾶς σε μάκαρ συνηρίθμησεν.

### *Δίστιχα Ἀκροτελεύτια*

Θεῷ με προσοικείωσον Δαυῒδ Θεοπροπάτορ,
καὶ τούτῳ ψάλλειν ἐν ᾠδαῖς καὶ ὕμνοις δίδαξον με,
ὁ ψαλτηρίῳ σου ψυχὰς τῶν εὐσεβῶν εὐφραίνων,
καὶ ἐν ταῖς θείαις ἐντολαῖς τοῦ νόμου στήριξόν με,
βοᾷ σοι παρακλήσεσιν ἡ πένης Ἰσιδώρα,
εἰς ὕμνων τούτων τῇ γραφῇ μετὰ τιμῆς προβεῖσα,
τῇ προτροπῇ τοῦ εὐσεβοῦς ἱκέτου Γεωργίου,
εὐλαβουμένου τὴν σεπτὴν καὶ ἱερὰν μορφήν σου,
τιμῶντος τε μετὰ σπουδῆς τὴν πάντιμόν σου μνήμην,
Ὃν φύλαττε διαπαντὸς εὐχαῖς σου εὐπροσδέκτοις,
καὶ σὺν Δικαίοις ἀξιῶν ἀεὶ Θεῷ λατρεύειν,
καὶ ψάλλειν ἐν λαμπρότητι Αὐτοῦ τὴν Βασιλείαν,



Πατρός, Υἱοῦ καὶ Πνεύματος, Μονάδος Τρισαγίας,
ᾗ πρέπει πᾶσα αἴνεσις τιμή τε εἰς αἰῶνας. Ἀμήν.

**ΤΕΛΟΣ**
**ΚΑΙ ΤΩ ΘΕΩ ΗΜΩΝ, ΤΩ ΤΗ ΑΥΤΟΥ ΠΡΟΣΤΑΞΕΙ,**
**ΠΑΝΤΑ ΤΑ ΕΡΓΑ ΕΝ ΠΟΛΛΗ ΣΟΦΙΑ ΤΕΛΕΙΟΥΝΤΙ,**
**ΠΡΕΠΟΝΤΩΣ ΔΩΜΕΝ ΘΑΥΜΑΣΜΟΝ ΚΑΙ ΔΟΞΑΝ ΕΙΣ ΑΙΩΝΑΣ.**
**ΑΜΗΝ**



Ὁ Δαυῒδ πολεμᾷ τόν Γολιάθ.
*(κώδ. 761 Μονή Βατοπεδίου)*